πολύπηνα φάρεα δῦναι
χρύϲεά τε χάριϲιν προϲθήματ᾽ ἀγλαΐαϲ.
δοκεῖϲ τοῖϲι ϲοῖϲ δακρύοιϲ
μὴ τιμῶϲα θεοὺϲ κρατή-
ϲειν ἐχθρῶν; οὔτοι ϲτοναχαῖϲ
ἀλλ᾽ εὐχαῖϲι θεοὺϲ ϲεβί-
ζουϲ᾽ ἕξειϲ εὐαμερίαν, ὦ παῖ.

Ηλ. οὐδεὶϲ θεῶν ἐνοπᾶϲ κλύει
τᾶϲ δυϲδαίμονοϲ, οὐ παλαι-
ῶν πατρὸϲ ϲφαγιαϲμῶν.
οἴμοι τοῦ καταφθιμένου
τοῦ τε ζῶντοϲ ἀλάτα,
ὅϲ που γᾶν ἄλλαν κατέχει
μέλεοϲ ἀλαίνων ποτὶ θῆϲϲαν ἑϲτίαν,
τοῦ κλεινοῦ πατρὸϲ ἐκφύϲ.
αὐτὰ δ᾽ ἐν χερνῆϲι δόμοιϲ
ναίω ψυχὰν τακομένα
δωμάτων φυγὰϲ πατρίων
οὐρείαϲ ἀν᾽ ἐρίπναϲ.
μάτηρ δ᾽ ἐν λέκτροιϲ φονίοιϲ
ἄλλωι ϲύγγαμοϲ οἰκεῖ.

Χο. πολλῶν κακῶν Ἕλληϲιν αἰτίαν ἔχει
ϲῆϲ μητρὸϲ Ἑλένη ϲύγγονοϲ δόμοιϲ τε ϲοῖϲ.

Ηλ. οἴμοι· γυναῖκεϲ, ἐξέβην θρηνημάτων.
ξένοι τινὲϲ παρ᾽ οἶκον οἵδ᾽ ἐφεϲτίουϲ